διδασκάλων, ὅσιε, δρόσον ἀνεμάξω
τὴν τερπνὴν καὶ εὐώδη,
ἐξ ἧς σεσοφούργηκας
τὸ κηρίον τῆς πίστεως
καὶ τὸ μέλι τῆς γνώσεως,
ὃ βασιλεῖς καὶ ἰδιῶται
πρὸς ὑγείαν προσφέρονται,
χαριστήρια πάντες
κροτοῦντές σοι, πάνσοφε: +

'Ωδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Νικητὴς πανάριστος τρισαριστεὺς
κατὰ τοῦ δεινοῦ κοσμοκράτορος
εὐθὺς ἐκ βρέφους
ἀνδρικῶς ἀναφανείς,
κατὰ τῆς πλάνης ὕστερον
τῆς καινοτομίας ἠγώνισαι.
'Ισχυρὸν εὐπρόσμαχον τὸ σταυρικὸν
ὅπλου καὶ σημεῖον φερόμενος
κατὰ τοῦ πλάνου,
ὡς Μωσῆς τὴν τῶν παθῶν
πρὶν διακόψας θάλασσαν,
εἶτα τοὺς ἐχθρούς σου ἐπόντωσας.
"Ολην σου τὴν ἔφεσιν πρὸς τὸν Χριστὸν
τείνας ἐκ παιδός, πανχοίδιμε,
τὴν ξένην τέρψιν,
τῶν ψυχῶν τὸν γλυκασμόν,
τὴν καλλονὴν τὴν ἄρρητον,
τὰ τερπνὰ τοῦ κόσμου μεμίσηκας.
Σύμβολον τῆς ἔνδοθεν θεοειδοῦς
καὶ ἀγγελικῆς καταστάσεως
τῆς φαιδροτάτης
καὶ ἁγίας σου ψυχῆς,
τὸ τοῦ προσώπου κόσμιον
καὶ θεοειδὲς ὑπεξέλαμπεν: +

Θεοτοκίον.

"Ηνοιξας, ἣν ἔκλεισε παρακοή,
θύραν παραδείσου, πανάμωμε,
ἑτοιμασθεῖσα

3. σεσοφούργηκας ex σεσοφούρκηκας corr. A.
9. κροτοῦμεν A.